• Η μέση φωνή τους σχηματίζεται από το ασθενές θέμα, εκτός από την υποτακτική ενεστώτα και αορίστου β΄.
τίθε-μαι, ἵε-μαι, δίδο-μαι και ἵστα-μαι.
• Τα ρήματα αυτά παρουσιάζουν ιδιομορφίες και στην κλίση του αορίστου. Παρατηρήστε τον επόμενο πίνακα:

Ενεστώτας	Παρατατικός	Μέλλοντας
ἵ-στη-μι	ἵ-στη-ν	στή-σω
ἵ-στα-μαι	ἱ-στά-μην	στή-σομαι
		στα-θήσομαι
τί-θη-μι	ἐ-τί-θην	θή-σω
τί-θε-μαι	ἐ-τι-θέ-μην	θή-σομαι
		τε-θήσομαι
ἵ-η-μι	ἵ-η-ν	ἥ-σω
ἵ-ε-μαι	ἱ-έ-μην	ἥ-σο-μαι
		ἐ-θήσομαι
δί-δω-μι	ἐ-δί-δουν	δώ-σω
δί-δο-μαι	ἐ-δι-δό-μην	δώ-σομαι
		δο-θήσομαι

Αόριστος	Παρακείμενος	Υπερσυντέλικος
ἔστην*	ἕστηκα	ἑ-στή-κειν ή
ἐ-στη-σάμην		εἰ-στή-κειν
ἐ-στά-θην		
ἔ-θη-κα	τέ-θη-κα /	
ἐ-θέ-μην	τέ-θει-κα	
ἐ-τέ-θην	τέ-θει-μαι	
ἧ-κα	εἶ-κα	
εἵ-μην	εἶ-μαι	εἵ-μην
εἵ-θην		
ἔ-δω-κα	δέ-δω-κα	ἐ-δε-δώ-κειν
ἐ-δό-μην	δέ-δο-μαι	ἐ-δε-δό-μην
ἐ-δό-θην		

*Ενεργητικός αόριστος με παθητική σημασία

• Για την κλίση του ενεστώτα, παρατατικού και αορίστου β΄ των ρημάτων αυτών στην ενεργητική και μέση φωνή μελετήστε τους πίνακες της παραγ. 339 της Γ.Α.Ε. (σελ. 220-225).

• Στην προστακτική του αορίστου β΄, ενεργητικού και μέσου, σε σύνθετα ρήματα με πρώτο συνθετικό πρόθεση, ο τόνος ανεβαίνει, όχι όμως πάνω από τη λήγουσα της προθέσεως, όταν αυτή είναι δισύλλαβη, **ἄφ-ες, ἄφ-ετε, πρόσ-θες, ἐπί-θες, ἀπό-δος, ἀπό-δοτε, κατά-θου, κατά-θεσθε.**

• Όταν όμως οι τύποι του β΄ ενικού της προστακτικής του μέσου αορίστου β΄ είναι σύνθετοι με μονοσύλλαβη πρόθεση ή με δισύλλαβη που έχει πάθει έκθλιψη, τότε ο τόνος δεν ανεβαίνει: **ἐν-θοῦ, ἀφοῦ (< ἀπὸ+οὗ)**

Γ. ΑΣΚΗΣΕΙΣ

►Να αναγνωρίσετε τους τύπους των ρημάτων τίθημι, ἵημι και δίδωμι που υπάρχουν στις παρακάτω προτάσεις:

1. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον.
2. Τοῦτον οἱ τριάκοντα ἀφεῖσαν.
3. Τῷ αἰτοῦντί σε δίδου καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς.
4. Ἡ ναῦς ὑπῆρχε κοινή, ὁμοίως ἀμφοτέρων ἀργύριον ἴσον κατατεθεικότων.
5. Οὗτοι δὲ ἀφέμενοι τοῦ νεανίσκου ἔτυπτον ἐμέ.
6. Πέρας δ' οὐδὲν ἀλγέων τίθης.
7. Ὅμως μέντοι ἵνα μὴ ὑπὸ τούτου πράγματ' ἔχοι (=ενοχλείται), δοὺς ἀργύριον ἀπηλλάγη.
8. Ἐὰν δὲ νόμον θῆταί τις, μὴ ἀποβαίνῃ δὲ κατὰ τὸ συμφέρον τῆς πρός ἀλλήλους κοινωνίας (=σχέσης), οὐκέτι (=όχι πια) τοῦτο τὴν τοῦ δικαίου φύσιν ἔχει.

►Να συμπληρώσετε τις παρακάτω προτάσεις με τους κατάλληλους τύπους των ρημάτων που δίνονται σε παρένθεση:

1. Οὐδεποτ' ἂν ..... λεῖον τὸν τραχὺν ἐχῖνον (=αχινό). (β' ενικ. ευκτ. αορ. του τίθημι).
2. Χρὴ δ', ὅταν μὲν ..... τοὺς νόμους, ὁποῖοί τινές εἰσι σκοπεῖν, ἐπειδὰν δὲ ....., φυλάττειν καὶ χρῆσθαι (=να τους εφαρμόζετε). (β' πληθ. υποτ. ενεστ. και β' πληθ. υποτ. αορ. του τίθεμαι).
3. «Ἡμεῖς», εἶπεν, «ὦ Θεμιστόκλεις, εἰ σωφρονοῦμεν, ἤδη τὴν κενὴν καὶ μειρακιώδη στάσιν (=παιδαριώδη έριδα) ..... ἀρξώμεθα σωτηρίου καὶ καλῆς φιλονεικίας πρὸς ἀλλήλους ἀμιλλώμενοι σῶσαι τὴν Ἑλλάδα. (μτχ. αορ. του ἀφίημι).

4. Οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι’ οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου …… (γ' εν. οριστ. ενεστ. του παραδίδομαι).
5. Καί …… ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς …… τοῖς ὀφειλέταις ἡμῶν. (β' εν. προστ. αορ και α' πληθ. οριστ. ενεστ. του ἀφίημι)
6. Πρὸς δὲ τοὺς ἐπιπλήττοντας καὶ νουθετοῦντας ὑμᾶς οὕτω …… δυσκόλως ὥσπερ πρὸς τοὺς κακόν τι τὴν πόλιν ἐργαζομένους (=που κάνουν). (β' πληθ. οριστ. ενεστ. του διατίθεμαι).
7. Ἐρωτᾷ οὖν Ἑρμῆς Δία τίνα οὖν τρόπον …… δίκην καὶ αἰδῶ ἀνθρώποις. (γ' ενικ. ευκτ. αορ. του δίδωμι).
8. Λύκοι πρέσβεις ἔστειλαν τοῖς προβάτοις εἰρήνην ποιῆσαι μετ’ αὐτῶν διηνεκῆ (=διαρκή), εἰ τοὺς κύνας λάβωσι καὶ διαφθείρωσι, τὰ μωρὰ δὲ πρόβατα …… τοῦτο ποιῆσαι. (οριστ. αορ. του συντίθεμαι =συμφωνώ).
9. Εὔδοξος δ’ ὁ Κνίδιος καὶ Εὐάνθης ὁ Μιλήσιός φασι τῶν Κροίσου τινὰ φίλων λαβεῖν παρὰ τοῦ βασιλέως ποτήριον χρυσοῦν, ὅπως …… τῷ σοφωτάτῳ τῶν Ἑλλήνων· τὸν δὲ …… Θαλῆ. (γ' ενικ. υποτ. αορ. του δίδωμι, απαρ. αορ. του δίδωμι).
10. Σχολαστικὸς ἐν τῷ πλέειν χειμῶνος ὄντος σφοδροῦ καὶ τῶν οἰκετῶν (=δούλων) κλαιόντων· Μὴ κλαίετε ἔφη· πάντας γὰρ ὑμᾶς ἐν διαθήκαις ἐλευθέρους …… (α' ενικ. οριστ. αορ. του ἀφίημι).

►Να μεταφράσετε τα παρακάτω κείμενα, αφού αναγνωρίσετε τους υπογραμμισμένους ρηματικούς τύπους:

1. Ἐβόα πολλάκις λέγων τὸν τῶν ἀνθρώπων βίον ῥᾴδιον ὑπὸ τῶν θεῶν δεδόσθαι, ἀποκεκρύφθαι δ' αὐτῶν ζητούντων μελίπηκτα καὶ μύρα καὶ τὰ παραπλήσια.
Λαέρτιου Διογένους Φιλοσόφων βίων καὶ δογμάτων συναγωγή, Διογένης, VI 44

2. Ἰδὼν δέ ποτε δύο τινὰς φιλοσόφους κομιδῇ ἀπαιδεύτως ἐν ζητήσει ἐρίζοντας καὶ τὸν μὲν ἄτοπα ἐρωτῶντα, τὸν δὲ οὐδὲν πρὸς λόγον ἀποκρινόμενον, οὐ δοκεῖ, ὑμῖν, ἔφη, ὦ φίλοι, ὁ μὲν ἕτερος τούτων τράγον ἀμέλγειν, ὁ δὲ αὐτῷ κόσκινον ὑποτιθέναι;
Λουκιανού Δημώνακτος βίος 28

κομιδῇ (επιρ.) = ολότελα
ἐν ζητήσει = κατά την έρευνα ενός ζητήματος
ἄτοπα = παράδοξα, παράλογα
οὐδὲν πρὸς λόγον = τίποτα σχετικό
ἀμέλγειν = ότι αρμέγει

3. Ὄνος ἀκούσας τεττίγων ᾀδόντων ἥσθη ἐπὶ τῇ εὐφωνίᾳ καὶ ζηλώσας αὐτῶν τὴν φωνὴν ἐπυνθάνετο τί αἰτούμενοι τοιαύτην φωνὴν ἀφιᾶσι. Τῶν δὲ εἰπόντων· «δρόσον,» ὁ ὄνος προσμένων τῇ τροφῇ τῆς δρόσου λιμῷ διεφθάρη.
Αἰσώπου Μῦθοι 184 (B.E. Perry)

ἐπὶ τῇ εὐφωνίᾳ = από την ωραία τους φωνή
τί αἰτούμενοι = τι τρώνε και...
προσμένων τῇ τροφῇ = επιμένοντας να τρέφεται
διεφθάρη (διαφθείρομαι) = ψόφησε

μελίπηκτα (τὰ) = μελόπιτες

4. Ἐπαίτης ᾔτησε Λάκωνα· «ἀλλὰ εἰ δοίην σοι,» ἔφη, «μᾶλλον πτωχεύσεις, τῆς δὲ ἀσχημοσύνης σου ταύτης ὁ πρῶτος μεταδοὺς αἴτιος, ἀργόν σε ποιήσας.»

Πλουτάρχου Ἠθικὰ 235 F

ᾔτησε = ζήτησε ελεημοσύνη
ἀσχημοσύνης = ανάρμοστης συμπεριφοράς
ἀργὸν = οκνηρό

5. Ὥσπερ δὲ τὸ παλαιὸν ἐν τῇ τραγῳδίᾳ πρότερον μὲν μόνος ὁ χορὸς διεδραμάτιζεν, ὕστερον δὲ Θέσπις ἕνα ὑποκριτὴν ἐξεῦρεν ὑπὲρ τοῦ διαναπαύεσθαι τὸν χορὸν καὶ δεύτερον Αἰσχύλος, τὸν δὲ τρίτον Σοφοκλῆς καὶ συνεπλήρωσεν τὴν τραγωδίαν, οὕτως καὶ τῆς φιλοσοφίας ὁ λόγος πρότερον μὲν ἦν μονοειδὴς ὡς ὁ φυσικός, δεύτερον δὲ Σωκράτης προσέθηκε τὸν ἠθικόν, τρίτον δὲ Πλάτων τὸν διαλεκτικὸν καὶ ἐτελεσιούργησε τὴν φιλοσοφίαν.

Λαερτίου Διογένους Φιλοσόφων βίων καὶ δογμάτων συναγωγή, Πλάτων, III 56

διεδραμάτιζεν = έπαιζε στο έργο μέχρι το τέλος
ἦν μονοειδὴς = ήταν ενός είδους, είχε ένα θέμα
ἐτελεσιούργησε = ολοκλήρωσε

ΕΝΟΤΗΤΑ 15

ΠΛΑΓΙΟΣ ΛΟΓΟΣ

Α. ΥΛΙΚΟ ΓΙΑ ΕΠΕΞΕΡΓΑΣΙΑ

Να μελετήσετε την αντιστοιχία των παραλλήλων παραδειγμάτων στους παρακάτω πίνακες:

ΕΥΘΥΣ ΛΟΓΟΣ	ΠΛΑΓΙΟΣ ΛΟΓΟΣ
1. Φησὶν ὁ κατήγορος· «οὗτος οὐ δικαίως λαμβάνει τὸ παρὰ τῆς πόλεως ἀργύριον».	1α. Φησὶν ὁ κατήγορος οὐ δικαίως με λαμβάνειν τὸ παρὰ τῆς πόλεως ἀργύριον.
2. Λέγει ὁ κατήγορος· «οὗτος ὑβριστής ἐστι καὶ βίαιος καὶ λίαν ἀσελγῶς διακείμενος».	2α. Λέγει, ὡς ὑβριστής εἰμι καὶ βίαιος καὶ λίαν ἀσελγῶς διακείμενος
3. Μιλτιάδης λέγει (εἶπεν)· «ἀναγκαῖόν ἐστι τῇ πατρίδι βοηθεῖν».	3α. Μιλτιάδης λέγει ὅτι ἀναγκαῖόν ἐστι τῇ πατρίδι βοηθεῖν. 3β. Μιλτιάδης εἶπεν ὅτι ἀναγκαῖον εἴη τῇ πατρίδι βοηθεῖν.
4. Χειρίσοφος ἥκουε· «Κῦρος στρατεύει πρὸς Κιλικίαν».	4α. Χειρίσοφος ἥκουε Κῦρον στρατεύοντα πρὸς Κιλικίαν.
5. Ἀλέξανδρος ἐκέλευε· «ἐλθέτω ὡς ἐμέ, Παρμενίων».	5α. Ἀλέξανδρος ἐκέλευε Παρμενίωνα ἐλθεῖν ὡς αὐτόν.

6. Ἀγησίλαος ἤρετο (=ρώτησε) Κῦρον· «παραγγέλλεις τι; 7. Οὗτος λέγει· «μανθάνω ἃ οὐκ ἐπίσταμαι». 8. Οἱ στρατιῶται ηὔχοντο· «σωτήρια θύσομεν (=θα κάνουμε ευχαριστήριες θυσίες) ἔνθα ἂν πρῶτον εἰς φιλίαν γῆν ἀφικώμεθα».	6α. Ἀγησίλαος ἤρετο Κῦρον, εἴ τι παραγγέλλοι. 7α. Οὗτος λέγει ὅτι μανθάνει ἃ οὐκ ἐπίσταται. 8α. Οἱ στρατιῶται ηὔχοντο σωτήρια θύσειν, ἔνθα πρῶτον εἰς φιλίαν γῆν ἀφίκοιντο.

Όπως φαίνεται από τα παραπάνω παραδείγματα, ένας συγγραφέας έχει δυο τρόπους για να μεταφέρει σ' εμάς τα λόγια κάποιου προσώπου:

α) Ο ένας τρόπος είναι να τα γράψει όπως ακριβώς ειπώθηκαν από το συγκεκριμένο πρόσωπο, χωρίς καμιά μεταβολή, αλλά μόνο με την πρόταξη ή παρεμβολή κάποιου ρήματος, όπως π.χ. φησί, λέγει, ἤκουε, ἐκέλευε κ.ά. Στην περίπτωση αυτή ο λόγος ονομάζεται ευθύς (ή άμεσος).

β) Ο άλλος τρόπος είναι να τα εξαρτήσει από κάποιο ρήμα και να τα μεταφέρει σ' εμάς έμμεσα και κάπως παραλλαγμένα σε σχέση μ' αυτά που πραγματικά είπε ο αρχικός ομιλητής. Στην περίπτωση αυτή, ο λόγος καλείται πλάγιος (ή έμμεσος).

Β. ΠΑΡΑΤΗΡΗΣΕΙΣ

Η τροπή του ευθέος λόγου σε πλάγιο, γίνεται με ορισμένες αρχές, οι οποίες σχετίζονται:

α) Με το περιεχόμενο των προτάσεων (δηλαδή, αν οι προτάσεις του ευθέος λόγου είναι προτάσεις κρίσεως, επιθυμίας ή ερωτηματικές).

β) Με το είδος του ρήματος της εξάρτησης (π.χ. λεκτικό, γνωστικό, κελευστικό, ερωτηματικό κ.ά.)

γ) Με τον χρόνο στον οποίο βρίσκεται το ρήμα της εξάρτησης (δηλαδή, αν βρίσκεται σε χρόνο αρκτικό ή ιστορικό).

δ) Με την έγκλιση των δευτερευουσών προτάσεων του ευθέος λόγου. Πιο συγκεκριμένα:

Ι. Οι κύριες προτάσεις κρίσεως μετατρέπονται:
α) Σε ειδικό απαρέμφατο, ύστερα από ρήματα λεκτικά (π.χ. λέγω, φημί, ὁμολογῶ, διδάσκω κ.ά.), γνωστικά (π.χ. γιγνώσκω, μανθάνω, οἶδα, ἐπίσταμαι κ.ά.) αισθητικά (π.χ. αἰσθάνομαι, ὁρῶ, ἀκούω κ.ά). και δοξαστικά (π.χ. δοκῶ, ἡγοῦμαι, νομίζω, κρίνω κ.ά). (παράδειγμα 1α).

β) Σε δευτερεύουσα ειδική πρόταση μετά από ρήματα λεκτικά, γνωστικά και αισθητικά. (Παραδείγματα 2α, 3α και 3β).

γ) Σε κατηγορηματική μετοχή μετά από ρήματα γνωστικά, αισθητικά και όσα σημαίνουν αγγελία (π.χ. ἀγγέλλω, δηλῶ κ.ά.). (Παράδειγμα 4).

ΙΙ. Οι κύριες προτάσεις επιθυμίας μετατρέπονται:
Σε τελικό απαρέμφατο ύστερα από ρήματα κελευστικά (π.χ. κελεύω, προτρέπω, παραινῶ κ.ά.), απαγορευτικά (π.χ. ἀπαγορεύω, κωλύω κ.ά.) και ευχετικά (π.χ. εὔχομαι). (Παράδειγμα 5).

III. Οι κύριες ερωτηματικές προτάσεις (ευθείες ερωτήσεις) μετατρέπονται:
Σε πλάγιες ερωτηματικές προτάσεις (πλάγιες ερωτήσεις) ύστερα από ρήματα που σημαίνουν ερώτηση (ἐρωτῶ, πυνθάνομαι κ.ά.) απορία (ἀπορῶ, θαυμάζω κ.ά.), φροντίδα (ἐπιμελοῦμαι, φροντίζω κ.ά.) πράξη (πράττω, πειρῶμαι κ.ά.). Βλ. παράδειγμα 6.

• Υπενθυμίζουμε ότι οι δευτερεύουσες προτάσεις του πλαγίου λόγου (ειδικές, πλάγιες ερωτηματικές) ακολουθούν τους κανόνες εκφοράς των αντίστοιχων δευτερευουσών προτάσεων. Σε περίπτωση όμως που το ρήμα της εξάρτησης βρίσκεται σε ιστορικό χρόνο (παρατατικό, αόριστο της οριστικής ή υπερσυντέλικο), τότε, αντί οριστικής, εκφέρονται συχνά με ευκτική, η οποία καλείται ευκτική του πλαγίου λόγου. (Βλ. τη διαφορά στα παραδείγματα 3α και 3β).

IV. Οι δευτερεύουσες προτάσεις του ευθέος λόγου διατηρούνται και στον πλάγιο λόγο.
Οι προτάσεις αυτές:
α) Αν εξαρτώνται από ρήμα αρκτικού χρόνου (δηλαδή ενεστώτα, μέλλοντα ή παρακειμένου), τότε διατηρούν τον χρόνο και την έγκλισή τους με πιθανή αλλαγή μόνο του προσώπου του ρήματος. (Βλ. το παράδειγμα 7α).

β) Αν εξαρτώνται από ρήμα ιστορικού χρόνου, τότε μετατρέπουν –όχι υποχρεωτικά– την απλή οριστική και την υποτακτική σε ευκτική του πλαγίου λόγου (παράδειγμα 8α).

(Για τον πλάγιο λόγο βλ. και τις παραγράφους 180-183 του Σ.Α.Ε.)

ΤΡΟΠΗ ΤΟΥ ΕΥΘΕΟΣ ΛΟΓΟΥ ΣΕ ΠΛΑΓΙΟ

ΕΥΘΥΣ ΛΟΓΟΣ	ΠΛΑΓΙΟΣ ΛΟΓΟΣ	
ΠΡΟΤΑΣΕΙΣ ΕΥΘΕΟΣ ΛΟΓΟΥ	**ΡΗΜΑ ΕΞΑΡΤΗΣΗΣ**	**ΜΕΤΑΤΡΟΠΗ**
Κύριες προτάσεις κρίσεως	**λεκτικό γνωστικό αισθητικό δοξαστικό**	**ειδικό απαρέμφατο**
	λεκτικό γνωστικό αισθητικό	**ειδική πρόταση**
	γνωστικό αισθητικό αγγελίας	**κατηγορηματική μετοχή**
Κύριες προτάσεις επιθυμίας	**κελευστικό απαγορευτικό ευχετικό**	**τελικό απαρέμφατο**
Κύριες ερωτηματικές προτάσεις (ευθείες ερωτήσεις)	**ερώτησης απορίας φροντίδας πράξης**	**πλάγια ερωτηματική πρόταση (πλάγια ερώτηση)**
Δευτερεύουσες προτάσεις	**οποιοδήποτε**	**αμετάβλητες ως προς το είδος, με πιθανή αλλαγή της έγκλισης**

Γ. ΑΣΚΗΣΕΙΣ

►Να γίνουν όλες οι δυνατές μετατροπές από τον ευθύ στον πλάγιο λόγο:

ΕΥΘΥΣ ΛΟΓΟΣ	ΠΛΑΓΙΟΣ ΛΟΓΟΣ
1. «Οὐκ ἔστιν ἄλλη ὁδὸς πλὴν ταύτης».	1.– Οἱ ἡγεμόνες (=οι οδηγοί) λέγουσιν …… …… – Οἱ ἡγεμόνες ἔλεγον …… ……
2. «Ποιήσω δίκαια πράττων τοῦτο;»	2.– Σωκράτης ἠπόρει …… ……
3. «Πάλαι (=από παλιά) προδότης οὗτός ἐστιν».	3.– Λακεδαιμόνιοι ἴσασι (οἶδα) …… ……
4. «Λαμβάνετε τὰ ἐπιτήδεια ἐκ τῶν φρυγικῶν κωμῶν».	4.– Ἀναξίβιος ἐκέλευσε τοὺς στρατηγοὺς …… ……
5. «Θηραμένης ἐψεύδετο ἐν τῇ ἐκκλησίᾳ».	5.– Ἀθηναῖοι ἐγίγνωσκον …… ……
6. Παραδῶμεν τὴν πόλιν Θηβαίοις;»	6.– Πλαταιῆς τοὺς θεοὺς ἐπήροντο (=ρωτούσαν, συμβουλεύονταν) …… ……

►Στα παρακάτω παραδείγματα να μετατραπεί ο πλάγιος λόγος σε ευθύ, σύμφωνα με το υπόδειγμα.

ΕΥΘΥΣ ΛΟΓΟΣ	ΠΛΑΓΙΟΣ ΛΟΓΟΣ
1. «Ἴητε εἰς Λακεδαίμονα· οὐ γάρ εἰμι ἐγὼ κύριος».	1. Ὁ Ἄγις ἐκέλευσεν αὐτοὺς εἰς Λακεδαίμονα ἰέναι· οὐ γὰρ εἶναι αὐτὸς κύριος.
2. …… ……	2. Εἷς τῶν λοχαγῶν προέτρεπεν αὐτοὺς ἄλλους στρατηγοὺς ἑλέσθαι.
3. …… …… ……	3. Κλέαρχος ἔλεγε τοῖς στρατηγοῖς ὅτι οὐ δύνανται τὸν Τίγρητα ποταμὸν διαβῆναι ἄνευ πλοίων.
4. …… ……	4. Ἡ μήτηρ διηρώτα Κῦρον πότερον βούλοιτο, μένειν ἢ ἀπιέναι.
5. …… …… …… …… ……	5. Ἔτι δὲ καὶ συλλέγεσθαί φησιν ἀνθρώπους ὡς ἐμὲ πονηροὺς καὶ πολλούς, οἳ τὰ μὲν ἑαυτῶν ἀνηλώκασι, τοῖς δὲ τὰ σφέτερα σῴζειν βουλομένοις ἐπιβουλεύουσιν.
6. …… …… ……	6. Οἱ στρατηγοὶ ἔλεγον, ὅτι τὴν ἀναίρεσιν (=την περισυλλογή) τῶν ναυαγῶν προστάξαιεν ἀνδράσιν ἱκανοῖς.

►Να μεταφέρετε στην αρχαία ελληνική τα παραδείγματα

1. Οι Αθηναίοι υπόσχονταν (ὑπισχνοῦμαι + δοτ. + απαρ.) στους Μεγαρείς ότι δεν θα επιτρέψουν να εισβάλουν οι Λακεδαιμόνιοι στην Αττική.
2. Ο Ξενοφών γνώριζε (γιγνώσκω) ότι ο Κύρος είχε πεθάνει (ἀποθνῄσκω) στη μάχη.
3. Οι στρατηγοί παρότρυναν τον Επαμεινώνδα (παρακελεύομαί τινι + απαρ.) να μη μάχεται αλλά να παρατάσσεται (τάττομαι) πίσω απ' αυτούς (ὄπισθεν αὐτῶν).
4. Οι Θηβαίοι αμέσως μετά τη μάχη στα Λεύκτρα έστειλαν αγγελιαφόρο (πέμπω ἄγγελον) στην Αθήνα και παρακάλεσαν (κελεύω) τους Αθηναίους να τους βοηθήσουν και να τιμωρήσουν τους Λακεδαιμόνιους.
5. Ο Ξενοφώντας άκουσε τους στρατιώτες να φωνάζουν (βοῶ) θάλασσα θάλασσα.

►Να μεταφράσετε τα κείμενα:

1. Σόλων ἐκείνην εἶπεν ἄριστα τὴν πόλιν οἰκεῖσθαι, ἐν ᾗ τοὺς ἀγαθοὺς ἄνδρας συμβαίνει τιμᾶσθαι, καὶ τὸ ἐναντίον, ἐν ᾗ τοὺς κακοὺς ἀμύνεσθαι.

οἰκεῖσθαι (οἰκοῦμαι) = ότι διοικείται
ἐν ᾗ… ἀμύνεσθαι = στην οποία οι κακοί τιμωρούνται

2. Σόλων ἐρωτηθεὶς πῶς ἄν μὴ γίγνοιτο ἀδίκημα ἐν πόλει εἶπεν· εἰ ὁμοίως ἀγανακτοῖεν οἱ μὴ ἀδικούμενοι τοῖς ἀδικουμένοις.

3. Ζήνων ἔφη δεῖν τὰς πόλεις κοσμεῖν οὐκ ἀναθήμασιν, ἀλλὰ ταῖς τῶν οἰκούντων ἀρεταῖς.

ἀναθήμασιν (ἀνάθημα, τὸ) = με αφιερώματα, αγάλματα

4. Ἀρκεσίλαος ἔλεγεν, ὥσπερ ὅπου φάρμακα πολλὰ καὶ ἰατροὶ πολλοί, ἐνταῦθα νόσοι πλεῖστοι, οὕτω δὴ καὶ ὅπου νόμοι πλεῖστοι, ἐκεῖ καὶ ἀδικίαν εἶναι μεγίστην.
(Στοβαίου, Ἀνθολόγιον, 76, 77, 88 και 91)

ΕΝΟΤΗΤΑ 16

ΑΛΛΑ ΡΗΜΑΤΑ Β΄ ΣΥΖΥΓΙΑΣ (ΣΕ –ΜΙ)
(ΕΙΜΙ, ΦΗΜΙ, ΟΙΔΑ, ΔΕΔΟΙΚΑ)

Α. ΥΛΙΚΟ ΓΙΑ ΕΠΕΞΕΡΓΑΣΙΑ

Μελετήστε τα παραδείγματα:

• Διογένης ἡμέρας ποτὲ λύχνον ἅψας (=αφού άναψε) περιήει· πυνθανομένων δέ τινων «πρὸς τί τοῦτο;» ἔλεγεν ἄνθρωπον ζητεῖν.
• Διογένης ἐρωτηθεὶς διὰ τί τὸ χρυσίον χλωρόν ἐστιν ἔφη, «ὅτι πολλοὺς ἔχει τοὺς ἐπιβουλεύοντας».
• Ἐρωτήσαντος δέ τινος Δημώνακτα τίς αὐτῷ ὅρος (=ορισμός) εὐδαιμονίας εἶναι δοκεῖ, μόνον εὐδαίμονα ἔφη τόν ἐλεύθερον· ἐκείνου δὲ φήσαντος πολλοὺς ἐλευθέρους εἶναι, Ἀλλ’ ἐκεῖνον νομίζω τὸν μήτε ἐλπίζοντά τι μήτε δεδιότα.
• Πέμπτος δὲ ὁ Κλεόβουλος ἔφη, μάλιστα σωφρονεῖν δῆμον, ὅταν τὸν ψόγον μᾶλλον οἱ πολιτευόμενοι δεδοίκασιν ἢ τὸν νόμον.
• Ἀρίστιππος ὁ Κυρηναῖος ἐρωτηθεὶς ὑπό Διονυσίου διὰ τί οἱ μὲν φιλόσοφοι ἐπὶ τὰς τῶν πλουσίων θύρας ἔρχονται, οἱ δὲ πλούσιοι ἐπὶ τὰς τῶν φιλοσόφων οὐκέτι (=όχι πλέον), ἔφη, «ὅτι οἱ μὲν ἴσασιν ὧν δέονται, οἱ δ’ οὐκ ἴσασιν.»

Οι υπογραμμισμένες λέξεις στα παραδείγματα είναι τύποι των ρημάτων εἶμι, φημί, δέδοικα και οἶδα.

Β. ΠΑΡΑΤΗΡΗΣΕΙΣ

• Τα ρήματα αυτά κλίνονται ολικά ή μερικά κατά τα ρήματα σε -μι με κάποιες διαφορές, σύμφωνα με τους επόμενους πίνακες:

Ι. ρ. εἶμι (=θα πάω, θ. ισχυρό εἰ- και αδύνατο ἰ-)

Οριστική		Υποτακτική	Ευκτική	Προστακτική
Ενεστώτας	Παρατατικός			
εἶ-μι	ᾔ-α / ᾖ-ειν	ἴ-ω	ἴ-οιμι / ἰ-οίην	–
εἶ	ᾔ-ειϛ / ᾖ-εισθα	ἴ-ῃϛ	ἴ-οις / ἰ-οίης	ἴ-θι
εἶ-σι	ᾔ-ει	ἴ-ῃ	ἴ-οι / ἰ-οίη	ἴ-τω
ἴ-μεν	ᾖ-μεν	ἴ-ωμεν	ἴ-οιμεν	–
ἴ-τε	ᾖ-τε	ἴ-ητε	ἴ-οιτε	ἴ-τε
ἴ-ασι(ν)	ᾖ-σαν / ᾖ-εσαν	ἴ-ωσι(ν)	ἴ-οιεν	ἰ-όντων / ἴ-τωσαν

Απαρέμφατο: ἰ-έναι **Μετοχή: ἰ-ὼν (ἰόντος), ἰ-οῦσα (ἰούσης), ἰ-ὸν (ἰόντος)**

ΙΙ. ρ. φημί (=λέω,ισχυρίζομαι, θ. ισχυρό φη- και αδύνατο φᾰ-)

Οριστική		Υποτακτική	Ευκτική	Προστακτική
Ενεστώτας	Παρατατικός			
φη-μὶ	ἔ-φη-ν	φῶ	φαίη-ν	–
φὴ-ς/φῂ-ς	ἔ-φη-σθα/ἔ-φη-ς	φῇς	φαίη-ς	φά-θι
φη-σὶ(ν)	ἔ-φη	φῇ	φαίη	φά-τω
φα-μὲν	ἔ-φα-μεν	φῶ-μεν	φαίη-μεν/φαῖ-μεν	–
φα-τὲ	ἔ-φα-τε	φῆ-τε	φαίη-τε/φαῖ-τε	φά-τε
φα-σὶ(ν)	ἔ-φα-σαν	φῶ-σι(ν)	φαίη-σαν/φαῖ-εν	φά-των/(φά-τωσαν)

Απαρέμφατο ενεστώτα: φά-ναι
Μετοχή ενεστώτα: φά-σκ-ων, φάσκ-ουσα, φά-σκ-ον
Μέλλ.: φή-σω
Αόρ.: ἔ-φη-σα

III. οἶδα (=γνωρίζω, θ. ισχυρό Fειδ- =ειδ- και με τροπή του ε σε ο: οἰδ, αδύνατο Fιδ=ἰδ-).

Οριστική		Υποτακτική	Ευκτική	Προστακτική
Παρακείμενος με σημασία Ενεστώτα	Υπερσυντέλικος με σημασία Παρατατικού			
οἶδ-α	ᾔδ-η / ᾔδ-ειν	εἰδῶ	εἰδείη-ν	–
οἶσθ-α	ᾔδ-ησθα / ᾔδ-εις	εἰδῇς	εἰδείη-ς	ἴσ-θι
οἶδ-ε	ᾔδ-ει(ν)	εἰδῇ	εἰδείη	ἴσ-τω
ἴσ-μεν	ᾔδ-ε-μεν / ᾖσ-μεν	εἰδῶμεν	εἰδεῖ-μεν	–
ἴσ-τε	ᾔδ-ε-τε / ᾖσ-τε	εἰδῆτε	εἰδεῖ-τε	ἴσ-τε
ἴσ-ασι(ν)	ᾔδ-ε-σαν / ᾖσ-αν	εἰδῶσι(ν)	εἰδεῖ-εν	ἴσ-των/(ἴστωσαν)

Απαρέμφατο: εἰδ-έναι
Μετοχή: εἰδ-ὼς (εἰδότος), εἰδ-υῖα (εἰδυίας), εἰδ-ὸς (εἰδότος)
Μέλλοντας: εἴ-σομαι / εἰδή-σω

IV. ρ. δέδοικα ή δέδια (=φοβούμαι, θ. ισχυρό δει- και με τροπή του ε σε ο: δοι-, αδύνατο δι-)

Οριστική		Υποτακτική	Προστακτική
Παρακείμενος με σημασία Ενεστώτα	Υπερσυντέλικος με σημασία Παρατατικού		
δέ-δοι-κα / δέ-δι-α	ἐ-δε-δοί-κειν	–	–
δέ-δοι-κας / δέ-δι-ας	-κεις	–	(δέ-δι-θι)
δέ-δοι-κε / δέ-δι-ε	-κει	δε-δί-ῃ	(δε-δί-τω)
δε-δοί-καμεν / δέ-δι-μεν	-κεμεν	–	–
δε-δοί-κατε / δέ-δι-τε	-κετε	–	–
δε-δοί-κασι(ν) / δε-δί-ασι(ν)	-κεσαν/ἐ-δέ-δι-σαν	δε-δί-ωσι(ν)	–

Απαρέμφ.: δεδοι-κέναι / δε-δι-έναι
Μετοχή: δε-δοι-κὼς / δε-δι-ὼς (δεδιότος), δε-δοι-κυῖα/δε-δι-υῖα (δεδιυίας), δε-δοι-κὸς / δε-δι-ὸς (δεδιότος)
Μέλλοντας: δεί-σομαι
Αόριστος: ἔ-δει-σα

• Μερικά άλλα ρήματα σχηματίζουν μόνο ορισμένους τύπους κατά τα ρήματα σε -μι π.χ. τέ-θνη-κα (=έχω πεθάνει), το απρόσωπο χρὴ (=πρέπει). (Βλ. Γραμματική σελ. 237-8).

Γ. ΑΣΚΗΣΕΙΣ

►Να βρείτε και να αναγνωρίσετε τους τύπους των ρημάτων εἶμι, φημί, οἶδα και δέδοικα που υπάρχουν στις παρακάτω προτάσεις:

1. Ὑμεῖς μὲν ἅπιτε πρὸς τὸ δικαστήριον εὐθεῖαν ἐκείνην προϊόντες (=προχωρώντας) προΐωμεν δὲ καὶ ἡμεῖς.
2. Καὶ εἰ μηδένα ἀνθρώπων ᾐσχύνου, τοὺς θεοὺς ἐχρῆν σε δεδιέναι.
3. Πολλοὶ καὶ τῶν ἀστῶν καὶ τῶν ξένων ἥκουσιν εἰσόμενοι τίνα γνώμην περὶ τούτων ἔξετε.
4. Οὐδὲν ἔφη Θαλῆς τὸν θάνατον διαφέρειν τοῦ ζῆν. «Σὺ οὖν,» ἔφη τις, «διὰ τί οὐκ ἀποθνῄσκεις;» «Ὅτι,» ἔφη, «οὐδὲν διαφέρει.»
5. Σχολαστικοί δύο ὁμοῦ ἐβάδιζον. Ἰδὼν οὖν ὁ ἕτερος αὐτῶν μέλαιναν ὄρνιν· Ἀδελφέ, φησίν, ἴσως ταύτης ὁ ἀλεκτρυὼν ἀπέθανεν.
6. Ἐτεῇ (=στην πραγματικότητα) δὲ οὐδὲν ἴσμεν· ἐν βυθῷ γὰρ ἡ ἀλήθεια.
7. Οἱ δ’ ἐκ τῆς ἀγορᾶς ἔφευγον, δεδιότες εἷς ἕκαστος μὴ συλληφθείη.

►Να συμπληρώσετε τις προτάσεις με τον κατάλληλο τύπο των ρημάτων που δίνονται σε παρένθεση:

1. Οὕτω γὰρ τὴν ὑμετέραν ἀσθένειαν ἑώρων καὶ τὴν αὐτῶν δύναμιν ἠπίσταντο, ὥστε πρότερον …… τὰ μέλλοντα ἐν τῇ ἐκκλησίᾳ πραχθήσεσθαι. (παρ. του οἶδα, γ΄ πληθ.)

2. Ἐγὼ μὲν γὰρ ἡγοῦμαι πᾶσιν εἶναι δῆλον ὅτι φεύγουσι μὲν οἱ περὶ αὐτῶν …… διώκουσι (=καταδιώκουν) δὲ οἱ βουλόμενοί τι ποιῆσαι κακόν. (μτχ. ενεστ. του δέδια).

3. Καὶ ὅτι ἀληθῆ ταῦτα λέγω, Φαλῖνος καὶ Διοκλῆς …… (οριστ. ενεστ. του οἶδα, γ΄πληθ.).

4. Ηὔχετο δὲ πρὸς τοὺς θεοὺς ἁπλῶς τἀγαθὰ διδόναι,

ὡς τοὺς θεοὺς κάλλιστα ..... ὁποῖα ἀγαθά ἐστι. (μτχ. ενεστ. του οἶδα).

5. Διογένης εἰς θέατρον ..... ἐναντίος (=αντιμέτωπος) τοῖς ..... ἐρωτηθεὶς δὲ διὰ τί, «τοῦτο,» ..... ἐν παντὶ τῷ βίῳ ἐπιτηδεύω (=επιδιώκω) ποιεῖν. (πρτ. του εἶσειμι, γ΄ ενικ. / μτχ. ενεστ. του ἔξειμι / πρτ. του φημί, γ΄ ενικ.).

6. Μὴ παιδὶ μάχαιραν, ἡ παροιμία .....· ἐγὼ δὲ ..... ἄν, μὴ παιδὶ πλοῦτον μηδὲ ἀνδρὶ ἀπαιδεύτῳ δυναστείαν (=εξουσία). (οριστ. ενεστ. του φημί, γ΄ ενικ. / ευκτ. ενεστ. του φημί, α΄ ενικ.).

7. Οὐδὲ οἶδ' ὅπως ἂν ..... τις ὂν (=ότι συμβαίνει) τὸ μὴ γενόμενον (ευκτ. ενεστ. του οἶδα, γ΄ ενικ.).

8. Λέγεται δ' ἀγόμενος ὑπὸ γραὸς ἐκ τῆς οἰκίας, ἵνα τὰ ἄστρα κατανοήσῃ (=παρατηρήσει), εἰς βόθρον (=λάκκο) ἐμπεσεῖν καὶ αὐτῷ ἀνοιμώξαντι (=όταν φώναξε βοήθεια) ..... τὴν γραῦν· «σὺ γάρ, ὦ Θαλῆ, τὰ ἐν ποσὶν οὐ δυνάμενος ἰδεῖν τὰ ἐπὶ τοῦ οὐρανοῦ οἴει γνώσεσθαι;» (απαρ. ενεστ. του φημί).

►Να μεταφράσετε τα παρακάτω κείμενα, αφού αναγνωρίσετε τους τύπους των ρημάτων εἶμι, φημί, οἶδα και δέδοικα που θα συναντήσετε:

1. Εἰπόντος δέ τινος τῶν ἑταίρων, Ἀπίωμεν, Δημῶναξ, εἰς τὸ Ἀσκληπιεῖον καὶ προσευξώμεθα ὑπὲρ τοῦ υἱοῦ, πάνυ, ἔφη, κωφὸν ἡγῇ τὸν Ἀσκληπιόν, εἰ μὴ δύναται κἀντεῦθεν ἡμῶν εὐχομένων ἀκούειν.

Λουκιανού Δημώνακτος Βίος I, 9, 29

ὑπὲρ τοῦ υἱοῦ = για τον γιο μου

2. Ἐπεὶ δέ ποτε πλεῖν μέλλοντα αὐτῷ διὰ χειμῶνος ἔφη τις τῶν φίλων, Οὐ δέδοικας μὴ ἀνατραπέντος τοῦ σκάφους ὑπό ἰχθύων καταβρωθῇς; Ἀγνώμων ἄν εἴην, ἔφη,

ὀκνῶν ὑπὸ ἰχθύων καταδασθῆναι τοσούτους αὐτὸς ἰχθῦς καταφαγών.

Λουκιανός, ό.π. I, 9, 35

καταβρωθῇς (καταβιβρώσκομαι) = σε καταβροχθίσουν
ὀκνῶν = εάν δείλιαζα
καταδασθῆναι (καταδατέομαι) = να κατασπαραχθώ

3. Παριόντα ποτὲ αὐτὸν λάχανα πλύνων Διογένης ἔσκωψε, καί φησιν, «εἰ ταῦτα ἔμαθες προσφέρεσθαι, οὐκ ἂν τυράννων αὐλὰς ἐθεράπευες.» Ὁ δέ, «καὶ σύ,» εἶπεν, «εἶπερ ᾔδεις ἀνθρώποις ὁμιλεῖν, οὐκ ἄν λάχανα ἔπλυνες.»

Λαερτίου Διογένους φιλοσόφων βίων καὶ δογμάτων συναγωγή, Ἀρίστιππος, II 68

παριόντα = όταν περνούσε (ο Αρίστιππος)
ἔσκωψεν = περιγέλασε
προσφέρεσθαι = να τρως
οὐκ ἂν… ἐθεράπευες = δεν θα πρόσφερες τις υπηρεσίες σου

►Να μεταφράσετε το παρακάτω κείμενο, αφού αναγνωρίσετε τους υπογραμμισμένους ρηματικούς τύπους:

Λέων γηράσας καὶ μὴ δυνάμενος δι’ ἀλκῆς ἑαυτῷ τροφὴν πορίζων ἔγνω δεῖν δι’ ἐπινοίας τοῦτο πρᾶξαι. Καὶ δὴ παραγενόμενος εἴς τι σπήλαιον καὶ ἐνταῦθα κατακλιθεὶς προσεποιεῖτο τὸν νοσοῦντα· καὶ οὕτω τὰ παραγενόμενα πρὸς αὐτὸν ἐπὶ τὴν ἐπίσκεψιν ζῷα συλλαμβάνων κατήσθιε. Πολλῶν δὲ θηρίων καταναλωθέντων ἀλώπηξ τὸ τέχνασμα αὐτοῦ <u>συνεῖσα</u> παρεγένετο, καὶ <u>στᾶσα</u> ἄπωθεν τοῦ σπηλαίου ἐπυνθάνετο αὐτοῦ πῶς ἔχοι. Τοῦ δὲ εἰπόντος «κακῶς» καὶ τὴν αἰτίαν ἐρομένου δι’ ἣν οὐκ <u>εἴσεισιν</u>, <u>ἔφη</u> «ἀλλ’ ἔγωγε εἰσῆλθον ἄν, εἰ μὴ ἑώρων πολλῶν <u>εἰσιόντων</u> ἴχνη, ἐξιόντος δὲ οὐδε-νός.»

Αἰσώπου Μῦθοι 142 (B. E.Perry)

πορίζειν = να βρίσκει
ἔγνω (γιγνώσκω) = κατάλαβε
δι’ ἐπινοίας = με πονηριά
παραγενόμενος = αφού πήγε
συνεῖσα = που αντιλήφθηκε
ἐρομένου (ἐρωτῶ) = και ρώτησε

ΕΝΟΤΗΤΑ 17

ΑΟΡΙΣΤΟΙ Β΄ ΒΑΡΥΤΟΝΩΝ ΡΗΜΑΤΩΝ ΠΟΥ ΚΛΙΝΟΝΤΑΙ ΚΑΤΑ ΤΑ ΡΗΜΑΤΑ ΣΕ –ΜΙ

Α. ΥΛΙΚΟ ΓΙΑ ΕΠΕΞΕΡΓΑΣΙΑ

Να μελετήσετε τα παρακάτω παραδείγματα:

- Ἰδών ποτε Διογένης Ὀλυμπιονίκην πρόβατα νέμοντα, «ταχέως,» εἶπεν, «ὦ βέλτιστε (=φίλε μου) μετέβης ἀπὸ τῶν Ὀλυμπίων ἐπὶ τὰ Νέμεα.»
- Πρὸς τοὺς συμβουλεύοντας τὸν ἀποδράντα αὐτοῦ δοῦλον ζητεῖν, «γελοῖον,» Διογένης ἔφη, «εἰ Μάνης μὲν χωρὶς Διογένους ζῇ, Διογένης δὲ χωρὶς Μάνου οὐ δυνήσεται.»
- Ἐπάταξεν αὐτὸν εἰς τὴν κεφαλὴν λίθῳ καὶ αἷμα ἐρρύη.
- Ἐρωτηθεὶς Θαλῆς τί δύσκολον, ἔφη, «τὸ ἑαυτὸν γνῶναι·» τί δὲ εὔκολον, «τῷ ἄλλῳ ὑποθέσθαι (=το να συμβουλεύεις).»
- Κυμαῖος ἐν τῷ κολυμβᾶν βροχῆς γενομένης διὰ τὸ μὴ βραχῆναι εἰς τὸ βάθος κατέδυ.

Οι υπογραμμισμένες λέξεις είναι τύποι αορίστου β΄ των βαρυτόνων ρημάτων μεταβαίνω, ἀποδιδράσκω, ῥέω, γιγνώσκω, καταδύομαι.

Ο αόριστος β΄ των ρημάτων αυτών κλίνεται σύμφωνα με το ἔστην (αόρ. β΄ του ρ. ἵστημι), όπως φαίνεται στον ακόλουθο πίνακα:

ΑΟΡΙΣΤΟΣ Β΄				
Οριστική				
ἔ-βη-ν	ἔ-δρᾱ-ν	ἐρρύη-ν	ἔ-γνω-ν	ἔ-δυ-ν
ἔ-βη-ς	ἔ-δρα-ς	ἐρρύη-ς	ἔ-γνω-ς	ἔ-δυ-ς
ἔ-βη	ἔ-δρα	ἐρρύη	ἔ-γνω	ἔ-δυ
ἔ-βη-μεν	ἔ-δρα-μεν	ἐρρύη-μεν	ἔ-γνω-μεν	ἔ-δυ-μεν
ἔ-βη-τε	ἔ-δρα-τε	ἐρρύη-τε	ἔ-γνω-τε	ἔ-δυ-τε
ἔ-βη-σαν	ἔ-δρα-σαν	ἐρρύη-σαν	ἔ-γνω-σαν	ἔ-δυ-σαν

Υποτακτική				
βῶ	δρῶ	ῥυῶ	γνῶ	δύ-ω
βῇς	δρᾷς	ῥυῇς	γνῷς	δύ-ῃς
βῇ	δρᾷ	ῥυῇ	γνῷ	δύ-ῃ
βῶμεν	δρῶμεν	ῥυῶμεν	γνῶμεν	δύ-ωμεν
κτλ.	κτλ.	κτλ.	κτλ.	κτλ.

Ευκτική			
βαί-ην	δραί-ην	ῥυείη-ν	γνοίη-ν
βαί-ης	δραί-ης	ῥυείη-ς	γνοίη-ς
βαί-η	δραί-η	ῥυείη	γνοίη
βαῖ-μεν	δραῖ-μεν	ῥυεῖ-μεν	γνοῖμεν
κτλ.	κτλ.	κτλ.	κτλ.

Προστακτική			
βῆ-θι	δρᾶ-θι	γνῶ-θι	δῦ-θι
βή-τω	δρά-τω	γνώ-τω	δύ-τω
βῆ-τε	δρᾶ-τε	γνῶ-τε	δῦ-τε
βά-ντων ή	δρά-ντων ή	γνό-ντων ή	δύ-ντων ή
βή-τωσαν	δρά-τωσαν	γνώ-τωσαν	δύ-τωσαν

Απαρέμφατο				
βῆ-ναι	δρᾶ-ναι	ῥυῆ-ναι	γνῶ-ναι	δῦ-ναι

Μετοχή				
βὰς (βάντος)	δρὰς (δράντος)	ῥυεὶς (ῥυέντος)	γνοὺς (γνόντος)	δὺς (δύντος)
βᾶσα (βάσης)	δρᾶσα (δράσης)	ῥυεῖσα (ῥυείσης)	γνοῦσα (γνούσης)	δῦσα (δύσης)
βὰν (βάντος)	δρὰν (δράντος)	ῥυὲν (ῥυέντος)	γνὸν (γνόντος)	δὺν (δύντος)

Β. ΠΑΡΑΤΗΡΗΣΕΙΣ

• Τα βαρύτονα ρήματα, τα οποία σχηματίζουν αόριστο β΄ κατά τα ρήματα σε -μι, έχουν θέμα με χαρα-κτήρα:

1. η και ᾰ:
βαίνω, αόρ. β΄ ἔ-βη-ν (θ. βη-, βᾰ-),
φθάνω, αόρ. β΄ ἔ-φθη-ν (θ. φθη-, φθᾰ-)

2. ᾱ και ᾰ:
(ἀπο)-δι-δρά-σκ-ω, αόρ. β΄(ἀπ)-έ-δρα-ν (θ. δρᾱ-, δρᾰ-),
γηρά-σκ-ω, αόρ. β΄ ἐ-γήρᾱ-ν (θ. γηρᾱ-, γηρᾰ-)

3. η και ε: ῥέω, αόρ. β΄ ἐρ-ρύη-ν (θ. ῥυη-, ῥυε-)

4. ω και ο:
ἁλ-ίσκ-ομαι, αόρ. β΄ ἑ-άλω-ν (θ. ἁλω-, ἁλο-),
γι-γνώ-σκ-ω, αόρ. β΄ ἔ-γνω-ν (θ. γνω-, γνο-),
βιῶ / ζῶ, αόρ. β΄ ἐ-βίω-ν (θ. βιω-, βιο-)

5. ῡ και ῠ:
δύ-ομαι, αόρ. β΄ ἔ-δῡ-ν (θ. δῡ-, δῠ-),
φύ-ομαι, αόρ. β΄ ἔ-φῡ-ν (θ. φῡ-, φῠ-).

Γ. ΑΣΚΗΣΕΙΣ

►Να αναγνωρίσετε τους τύπους του αορίστου β΄ που υπάρχουν στις παρακάτω προτάσεις:

1. Ἀποδρὰς δὲ τοῦτον ἔφευγε μὲν τοὺς ἐνθάδε θεούς, ἔφευγε δὲ τὴν ἑαυτοῦ πόλιν.
2. Σχολαστικὸς φίλον συναντήσας εἶπε· καθ' ὕπνους σε ἰδὼν προσηγόρευσα. Ὁ δὲ· σύγγνωθί (=συγχώρεσε) μοι, ὅτι οὐ προσέσχον (=πρόσεξα).
3. Λαθραίως παρεισδὺς εἰς τὴν πατρίδα καὶ τήν τε γυναῖκα καὶ τὰς θυγατέρας παραλαβὼν πρὸς Ἀντίγονον ἐλθὼν ἀθυμίᾳ (=από θλίψη) τὸν βίον κατέστρεψε (=τελείωσε τη ζωή του, πέθανε).

4. Ἁπλοῦς ὁ μῦθος (=λόγος) τῆς ἀληθείας ἔφυ (=είναι από τη φύση του).
5. Πρὸς γὰρ τὸ τελευταῖον ἐκβὰν ἕκαστον τῶν πρὶν ὑπαρξάντων κρίνεται.
6. Ἐγώ σ' ἔθρεψα, σὺν (=μαζί σου) δὲ γηράναι θέλω.
7. Ἐβίωσαν μετ' ἀλλήλων ἥδιστα.
8. Χίλων ὁ Λακεδαιμόνιος ὅτε φιλάργυρός τις ἐξεφέρετο (=κηδευόταν), ἔφη· οὗτος βίον ἀβίωτον βιοὺς ἄλλοις τὸν βίον καταλέλοιπεν.

►Να συμπληρώσετε τις προτάσεις με τον κατάλληλο τύπο των ρημάτων που δίνονται σε παρένθεση:

1. Πορευθεὶς εἰς τὴν θάλασσαν βάλε ἄγκιστρον καὶ τὸν …… πρῶτον ἰχθὺν ἆρον (=σήκωσε), καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ εὑρήσεις στατῆρα (=ασημένιο νόμισμα), (μτχ. αορ. β΄ του ἀναβαίνω).
2. Ἐτελεύτησε δὲ γηραιός, ἔτη …… ἑβδομήκοντα. (μτχ. αορ. β΄ του ζῶ).
3. Τὸ μειράκιον ὡς ……, ῥίψας τὸ ἱμάτιον, φεύγων ᾤχετο (=έφευγε τρέχοντας), οὗτοι δὲ αὐτὸν ἐπεδίωκον (=καταδίωκαν). (οριστ. αορ. β΄ του γιγνώσκω =αντιλαμβάνομαι).
4. Οὐκ ἂν δυναίμην θῆλυν …… στολήν. (απαρ. αορ. β΄ του ἐνδύομαι).
5. Ἀλλὰ νῦν, φεῦ τῶν κακῶν, ἀπώλετο πᾶν· …… γὰρ Κωνσταντινούπολις, (οριστ. αορ. β΄ του ἁλίσκομαι).
6. Ὁ Ἀσωπὸς ποταμὸς …… μέγας καὶ οὐ ῥᾳδίως διαβατὸς ἦν. (οριστ. αορ. β΄ του ῥέω).
7. Σὺ δὲ καὶ τὴν Μακεδονικὴν χλαμύδα καταβαλὼν κάνδυν (=περσικό μανδύα), ὥς φασι, …… (οριστ. αορ. β΄ του μετενδύομαι =φοράω άλλα ρούχα, αλλάζω ρούχα).

8. Πύρρων πρὸς τὰ ἐνενήκοντα ἔτη …… (οριστ. αορ. β΄ του καταβιῶ =τελειώνω τη ζωή μου).
9. …… ᾧ αὗται. (προστ. αορ. β΄ του ἀποδύομαι, β΄ πληθ.).
10. Σχολαστικὸς καθ' ὕπνους ἦλον (=καρφί) πεπατηκέναι δόξας τὸν πόδα περιέδησεν (=περιέδεσε). Ἑταῖρος (=φίλος) δὲ αὐτοῦ πυθόμενος τὴν αἰτίαν καὶ ……· δικαίως, ἔφη, μωροὶ καλούμεθα. Διὰ τί γὰρ ἀνυπόδητος κοιμᾶσαι; (μτχ. αορ. β΄ του γιγνώσκω).

►Να μεταφράσετε το παρακάτω κείμενο, αφού αναγνωρίσετε τον υπογραμμισμένο ρηματικό τύπο:

Πλέων ποτὲ ἐπεὶ τὸ σκάφος ἔγνω πειρατικόν, λαβὼν τὸ χρυσίον ἠρίθμει· ἔπειτα εἰς θάλατταν ὡς μὴ θέλων παρακατέβαλε καὶ δῆθεν ἀνώμωξεν. Οἱ δὲ καὶ ἐπειπεῖν φασιν αὐτὸν ὡς ἄμεινον ταῦτα δι' Ἀρίστιππον ἢ διὰ ταῦτα Ἀρίστιππον ἀπολέσθαι.

Λαέρτιου Διογένους φιλοσόφων βίων καὶ δογμάτων συναγωγή, Ἀρίστιππος, II 77

παρακατέβαλε = έριξε
ἀνώμωξεν = θρήνησε μεγαλόφωνα
οἱ δὲ = άλλοι ωστόσο

ΕΝΟΤΗΤΑ 18

ΑΡΙΘΜΗΤΙΚΑ

Α. ΥΛΙΚΟ ΓΙΑ ΕΠΕΞΕΡΓΑΣΙΑ

Να μελετήσετε τα παρακάτω παραδείγματα:

Ι. 1. Ἑπτὰ πόλεις διερίζουσι (=φιλονικούν μεταξύ τους) περὶ ῥίζαν Ὁμήρου· Σμύρνα, Ῥόδος, Κολοφῶν, Σαλαμίς, Ἴος, Ἄργος, Ἀθῆναι.

2. Αἱ δεύτεραι φροντίδες (=σκέψεις) σοφώτεραι.

3. Καὶ ἀφίκοντο ἑκταῖοι εἰς Χρυσόπολιν τῆς Καλχηδονίας, καὶ ἐκεῖ ἔμειναν ἡμέρας ἑπτὰ λαφυροπωλοῦντες.

4. Σταθεὶς δὲ Ζακχαῖος εἶπε πρὸς τὸν Κύριον· ἰδοὺ τὰ ἡμίση τῶν ὑπαρχόντων μου, Κύριε, δίδωμι τοῖς πτωχοῖς καὶ εἴ τινός τι ἐσυκοφάντησα (=πήρα με συκοφαντίες), ἀποδίδωμι τετραπλοῦν.

5. Ἤδη δὲ εἶχε καὶ τριπλασίαν δύναμιν ὁ Σεύθης.

ΙΙ. 1. Πρῶτος δὲ Θαλῆς καὶ τὴν ὑστάτην ἡμέραν τοῦ μηνὸς τριακάδα εἶπε.

2. Πρῶτοι μὲν γὰρ καὶ μόνοι ὑπὲρ ἁπάσης τῆς Ἑλλάδος πρὸς πολλὰς μυριάδας τῶν βαρβάρων διεκινδύνευσαν.

ΙΙΙ. 1. Καὶ μὴν εἴρηται γ' (=και όμως έχει λεχθεί τουλάχιστον) ἡμῖν οὐχ ἅπαξ ἀλλ' οἶμαι πολλάκις.

2. Καὶ ἐκ δευτέρου ἀλέκτωρ ἐφώνησε. Καὶ ἀνεμνήσθη ὁ Πέτρος τὸ ῥῆμα ὃ εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι πρὶν ἀλέκτορα φωνῆσαι δίς, ἀπαρνήσῃ με τρίς.

Β. ΠΑΡΑΤΗΡΗΣΕΙΣ

Στα παραπάνω παραδείγματα οι υπογραμμισμένες λέξεις είναι αριθμητικά, λέξεις δηλαδή που φανερώνουν αριθμούς ή παράγονται από ονόματα αριθμών.

Τα αριθμητικά είναι επίθετα, ουσιαστικά και επιρρήματα.

Ι. Τα αριθμητικά επίθετα (ομάδα Ι) διακρίνονται σε:

α) Απόλυτα: όσα φανερώνουν ένα ορισμένο πλήθος από όντα. (Παράδ. 1).

β) Τακτικά: όσα φανερώνουν τάξη, δηλ. τη θέση που κατέχει ένα ορισμένο ον σε μια σειρά από όμοιά του. (Παράδ. 2).

γ) Χρονικά: όσα φανερώνουν χρόνο, δηλ. ποια ημέρα, από τότε που άρχισε, τελειώνει κάποια ενέργεια. (Παράδ. 3).

δ) Πολλαπλασιαστικά: όσα φανερώνουν από πόσα απλά μέρη απαρτίζεται κάτι. (Παράδ. 4).

ε) Αναλογικά: όσα φανερώνουν ποια είναι η αναλογία ενός ποσού προς ένα άλλο του ίδιου είδους. (Παράδ. 5).

• Από τα απόλυτα αριθμητικά, τα τέσσερα πρώτα κλίνονται ως εξής:

	1. εἷς μία ἓν			2. δύο
	Ενικός αριθμός			Δυϊκός αρ.
	αρσ.	θηλ.	ουδ.	(για τα τρία γένη)
ον.	εἷς	μία	ἓν	δύο
γεν.	ἑνὸς	μιᾶς	ἑνὸς	δυοῖν
δοτ.	ἑνὶ	μιᾷ	ἑνὶ	δυοῖν
αιτ.	ἕνα	μίαν	ἓν	δύο

3. τρεῖς τρία

Πληθυντικός

αρσ. / θηλ.	ουδ.
τρεῖς	τρία
τριῶν	τριῶν
τρισὶ(ν)	
τρεῖς	τρία

4. τέτταρες τέτταρα

Πληθυντικός

αρσ. / θηλ.	ουδ.
τέτταρες	τέτταρα
τεττάρων	τεττάρων
τέτταρσι(ν)	τέτταρσι(ν)
τέτταρας	τέτταρα

• Τα απόλυτα αριθμητικά από το πέντε μέχρι το ἑκατὸν είναι άκλιτα. Από το διακόσιοι, -αι, -α και πάνω είναι τρικατάληκτα δευτερόκλιτα επίθετα και κλίνονται μόνο στον πληθυντικό αριθμό.

• Τα τακτικά, τα χρονικά και τα αναλογικά αριθμητικά κλίνονται ως τρι-κατάληκτα δευτερόκλιτα επίθετα σε -ος, -η, -ον ή -ος, -α, -ον.

• Τα πολλαπλασιαστικά αριθμητικά κλίνονται όπως τα συνηρημένα τρικατάληκτα δευτερόκλιτα σε -οῦς, -ῆ, -οῦν.

ΙΙ. Τα αριθμητικά ουσιαστικά (ομάδα ΙΙ) σημαίνουν αφηρημένη αριθμητική ποσότητα, δηλ. πλήθος από όμοιες μονάδες οποιουδήποτε είδους. Είναι όλα θηλυκά (αφηρημένα ουσιαστικά) σε -ὰς και κλίνονται όπως τα τριτόκλιτα οδοντικόληκτα θηλυκά σε -ας, γεν. -άδος. (Παραδ. 1-2).

ΙΙΙ. Τα αριθμητικά επιρρήματα (ομάδα ΙΙΙ) φανερώνουν πόσες φορές επαναλαμβάνεται κάτι. Λήγουν σε -άκις ή -κις, εκτός από τα τρία πρώτα που είναι: ἅπαξ (=μία μόνο φορά), δὶς (=δύο φορές), τρὶς (=τρεις φορές). (Παράδ. 1-2).
(Περισσότερες πληροφορίες βλ. Γραμμ. §§ 205-218).

Γ. ΑΣΚΗΣΕΙΣ

►Να αναγνωρίσετε με τη βοήθεια της Γραμματικής, τα είδη των αριθμητικών που περιέχονται στις παρακάτω προτάσεις:

1. Τῷ δὲ ἀδελφῷ ἔδωκε τρία τάλαντα, τὰ δὲ λοιπὰ τῷ υἱεῖ κατέλιπε, τάλαντα ἑπτακαίδεκα.
2. Ὁ μὲν οὖν Ἄγνων ἀνεχώρησε ταῖς ναυσὶν ἐς τὰς Ἀθήνας, ἀπὸ τετρακισχιλίων ὁπλιτῶν χιλίους καὶ πεντήκοντα τῇ νόσῳ ἀπολέσας ἐν τεσσαράκοντα μάλιστα ἡμέραις.
3. Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ.
4. Βέλτιόν ἐστιν ἅπαξ ἀποθανεῖν ἢ ἀεὶ προσδοκᾶν.
5. Δὶς πρὸς τὸν αὐτὸν αἰσχρὸν προσκρούειν λίθον.
6. Λέγει ὁ Ἰησοῦς· ἄρατε (=σηκώσατε) τὸν λίθον. Λέγει αὐτῷ ἡ ἀδελφὴ τοῦ τεθνηκότος Μάρθα· Κύριε, ἤδη ὄζει (=μυρίζει άσχημα)· τεταρταῖος γάρ ἐστι.
7. Ἐγὼ δέ ὑποτίθεμαι (=υποθέτω) τὴν διάμετρον τοῦ ἡλίου τῆς διαμέτρου τῆς σελήνης ὡς (=περίπου) τριακονταπλασίαν εἶναι καὶ μὴ μείζονα.
8. Τό τε ἐκ τῶν νεῶν καὶ τοῦ πεζοῦ πλῆθος συντιθέμενον γίνεται διακόσιαί τε μυριάδες καὶ τριάκοντα καὶ μία καὶ πρὸς χιλιάδας ἑπτὰ καὶ ἑκατοντάδες ἓξ καὶ δεκάς.

►Να βρείτε με τη βοήθεια της γραμματικής σας τα αραβικά ψηφία που αντιστοιχούν στα παρακάτω αριθμητικά:

1. Τέσσαρα μὲν καὶ δέκα ἔτη ἐνέμειναν αἱ τριακοντούτεις σπονδαὶ αἳ ἐγένοντο μετ' Εὐβοίας ἅλωσιν· τῷ δὲ πέμπτῳ καὶ δεκάτῳ ἔτει, ἐπὶ Χρυσίδος ἐν Ἄργει τότε πεντήκοντα δυοῖν δέοντα ἔτη ἱερωμένης καὶ Αἰνησίου ἐφόρου ἐν Σπάρτῃ καὶ Πυθοδώρου ἔτι δύο μῆνας ἄρχοντος Ἀθηναίοις, μετὰ τὴν ἐν Ποτειδαίᾳ μάχην μηνὶ ἕκτῳ Θηβαίων ἄνδρες ὀλίγῳ πλείους τριακοσίων ἐσῆλθον περὶ

πρῶτον ὕπνον ξὺν ὅπλοις ἐς Πλάταιαν τῆς Βοιωτίας οὖσαν Ἀθηναίων ξυμμαχίδα.
2. Τότε προσελθὼν αὐτῷ ὁ Πέτρος εἶπε· Κύριε, ποσάκις (=πόσες φορές) ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου καὶ ἀφήσω (=θα συγχωρήσω) αὐτῷ; ἕως ἑπτάκις; Λέγει αὐτῷ ὁ Ἰησοῦς· οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά.
3. ϡϡϛ΄
4. Στίχοι ϡψμθ΄
5. Γίνονται αἱ πᾶσαι μυριάδες στίχων τέτταρες καὶ τετταράκοντα πρὸς τοῖς πεντακισχιλίοις καὶ διακοσίοις ἑβδομήκοντα.
6. Στίχοι τρεῖς καὶ τετρακισμύριοι τεσσαράκοντα ἑβδομήκοντα πέντε.
7. Στίχοι ͵μ͵δσλθ΄ (μ =μυριὰς).

►Να γράψετε όλους τους δυνατούς τύπους των αριθμητικών που θα βρείτε στο παρακάτω αίνιγμα:

εἷς ὁ πατήρ, παῖδες δυοκαίδεκα. τῶν δ' ἑκάστῳ
παῖδες δὶς τριάκοντα διάνδιχα εἶδος ἔχουσαι·
αἱ μὲν λευκαὶ ἔασιν ἰδεῖν, αἱ δ' αὖτε μέλαιναι·
ἀθάνατοι δέ τ' ἐοῦσαι, ἀποφθινύ-θουσιν ἅπασαι.
ἔστι δ' ἐνιαυτός.

Λαέρτιου Διογένους φιλοσόφων βίων καὶ δογμάτων συναγωγή, Κλεόβουλος, I 91

διάνδιχα (επίρ.) εἶδος ἔχουσαι = που έχουν διαφορετική μορφή
ἔασιν = εἰσὶν
αὖτε (επίρ.) = αντιθέτως
ἐοῦσαι = οὖσαι
ἀποφθινύθουσιν = φθείρονται, χάνονται, πεθαίνουν

ΕΝΟΤΗΤΑ 19

ΣΥΝΗΡΗΜΕΝΑ ΟΥΣΙΑΣΤΙΚΑ Α΄ και Β΄ ΚΛΙΣΗΣ

Ι. Α΄ ΚΛΙΣΗ

Α. ΥΛΙΚΟ ΓΙΑ ΕΠΕΞΕΡΓΑΣΙΑ

Να μελετήσετε τα παρακάτω παραδείγματα:

- Βοιωτοὶ ἐς Πλάταιαν ἐλθόντες τὴν γῆν ἐδῄουν (=λεηλατούσαν).
- Θέας δὲ ἄξιον τῶν ἐν Πειραιεῖ μάλιστα Ἀθηνᾶς ἐστι καὶ Διὸς τέμενος.

Οι υπογραμμισμένοι τύποι είναι συνηρημένα ουσιαστικά Α΄ κλίσης. Έχουν χαρακτήρα -α- ή -ε-, ο οποίος συναιρείται με την κατάληξη ως εξής: Ἀθηνᾶ (< Ἀθηνάα), μνᾶ (< μνάα), γῆ (< γέα), Ἑρμῆς (< Ἑρμέας).

Τα ονόματα αυτά κλίνονται σύμ-φωνα με τον επόμενο πίνακα (βλ. και Γ.Α.Ε. §92 και 93):

Ενικός αριθμός

	(θ. Ἑρμεα-, Ἑρμη-)		(θ. μναα-, μνα-)		(θ. γαλεα-, γαλη-)	
Ον.	ὁ	Ἑρμῆς	ἡ	μνᾶ	ἡ	γαλῆ
Γεν.	τοῦ	Ἑρμοῦ	τῆς	μνᾶς	τῆς	γαλῆς
Δοτ.	τῷ	Ἑρμῇ	τῇ	μνᾷ	τῇ	γαλῇ
Αιτ.	τὸν	Ἑρμῆν	τὴν	μνᾶν	τὴν	γαλῆν
Κλητ.	ὦ	Ἑρμῆ	ὦ	μνᾶ	ὦ	γαλῆ

Πληθυντικός αριθμός

Ον.	οἱ	Ἑρμαῖ	αἱ	μναῖ	αἱ	γαλαῖ
Γεν.	τῶν	Ἑρμῶν	τῶν	μνῶν	τῶν	γαλῶν
Δοτ.	τοῖς	Ἑρμαῖς	ταῖς	μναῖς	ταῖς	γαλαῖς
Αιτ.	τοὺς	Ἑρμᾶς	τὰς	μνᾶς	τὰς	γαλᾶς
Κλητ.	ὦ	Ἑρμαῖ	ὦ	μναῖ	ὦ	γαλαῖ

Β. ΠΑΡΑΤΗΡΗΣΕΙΣ

• Τα συνηρημένα πρωτόκλιτα ουσιαστικά:
α) Έχουν τις καταλήξεις των ασυναίρετων με εξαίρεση το ότι το -εα στον ενικό αριθμό το συναιρούν σε η:
ὁ Ἑρμέας - Ἑρμῆς· ενώ: τοὺς Ἑρμέας - Ἑρμᾶς.
β) Είναι περισπώμενα σε όλες τις πτώσεις.

Γ. ΑΣΚΗΣΕΙΣ

►Να αναγνωρίσετε τους τύπους συνηρημένων πρωτόκλιτων στις παρακάτω προτάσεις:

α) Τρίτος δὲ ὁ Δημητρίου πόλεμος κακὸν ἀνέλπιστον ἦλθεν ἐς τὴν γῆν.
β) Λίθοι τέ εἰσιν Ἑρμαῖ θέας ἄξιοι.
γ) Ἐνταῦθα καὶ Μαραθῶν, γεγραμμένος ἐστὶν ἥρως καὶ Θησεὺς Ἀθηνᾶ τε καὶ Ἡρακλῆς.
δ) Ἐγὼ μὲν οἶμαι, ἔφη ὁ Σωκράτης, εἰ ἀγαθοῦ ὠνητοῦ (=αγοραστή) ἐπιτύχοιμι, εὑρεῖν ἄν μοι σὺν τῇ οἰκίᾳ καὶ τὰ ὄντα πάντα πάνυ ῥᾳδίως πέντε μνᾶς.
ε) Γῆς τῆς Θεσπρωτίδος ἔστι μέν που καὶ ἄλλα θέας ἄξια, ἱερόν τε Διὸς ἐν Δωδώνῃ καὶ ἱερὰ τοῦ θεοῦ φηγός (=βελανιδιά).
στ) Κατὰ δὲ τὴν ἔσοδον αὐτὴν ἤδη τὴν ἐς ἀκρόπολιν Ἑρμῆν, ὃν Προπύλαιον ὀνομάζουσι, καὶ Χάριτας Σωκράτην ποιῆσαι τὸν Σωφρονίσκου λέγουσιν.

ΙΙ. Β΄ ΚΛΙΣΗ

Α. ΥΛΙΚΟ ΓΙΑ ΕΠΕΞΕΡΓΑΣΙΑ

Να μελετήσετε τα επόμενα παραδείγματα:

- Ὁ ἔχων <u>νοῦν</u> νοεῖν νοείτω.
- Οὐ παντὸς ἀνδρὸς ἐπὶ τράπεζαν ἔσθ' ὁ <u>πλοῦς</u>.

Οι υπογραμμισμένες λέξεις είναι συνηρημένα ουσιαστικά Β΄ κλίσης. Έχουν χαρακτήρα -ο- ή -ε-, ο οποίος συναιρέθηκε με τις καταλήξεις ως εξής: νοῦς (< νό-ος), πλοῦς (< πλό-ος).
Τα ονόματα αυτά κλίνονται σύμφωνα με τον επόμενο πίνακα (βλ. και Γ.Α.Ε. §99 και 100).

Ενικός αριθμός

	(θ. ἑκπλοο-, ἑκπλου-)		(θ. ῥου-, ῥου-)		(θ. ὀστεο-, ὀστου-)	
Ον.	**ὁ**	**ἔκπλους**	**ὁ**	**ῥοῦς**	**τὸ**	**ὀστοῦν**
Γεν.	**τοῦ**	**ἔκπλου**	**τοῦ**	**ῥοῦ**	**τοῦ**	**ὀστοῦ**
Δοτ.	**τῷ**	**ἔκπλῳ**	**τῷ**	**ῥῷ**	**τῷ**	**ὀστῷ**
Αιτ.	**τὸν**	**ἔκπλουν**	**τὸν**	**ῥοῦν**	**τὸ**	**ὀστοῦν**
Κλ.	**(ὦ)**	**ἔκπλου**	**(ὦ)**	**ῥοῦ**	**(ὦ)**	**ὀστοῦν**

Πληθυντικός αριθμός

Ον.	**οἱ**	**ἔκπλοι**	**οἱ**	**ῥοῖ**	**τὰ**	**ὀστᾶ**
Γεν.	**τῶν**	**ἐκπλων**	**τῶν**	**ῥῶν**	**τῶν**	**ὀστῶν**
Δοτ.	**τοῖς**	**ἔκπλοις**	**τοῖς**	**ῥοῖς**	**τοῖς**	**ὀστοῖς**
Αιτ.	**τοὺς**	**ἔκπλους**	**τοὺς**	**ῥοῦς**	**τὰ**	**ὀστᾶ**
Κλ.	**(ὦ)**	**ἔκπλοι**	**(ὦ)**	**ῥοῖ**	**(ὦ)**	**ὀστᾶ**

Β. ΠΑΡΑΤΗΡΗΣΕΙΣ

• Τα συνηρημένα δευτερόκλιτα ουσιαστικά:

α) Έχουν τις καταλήξεις των ασυναίρετων, εκτός από την ονομαστική, αιτιατική και κλητική ενικού, όπου η κατάληξη είναι -ου (από τη συναίρεση του ο + ο ή ε + ο).
β) Τονίζονται σε όλες τις πτώσεις στη συλλαβή που τονίζεται και η ονομαστική ενικού.

Γ. ΑΣΚΗΣΕΙΣ

►Στις προτάσεις που ακολουθούν να αναγνωρίσετε τους τύπους των δευτεροκλίτων συνηρημένων ουσιαστικών:

α) Τὸ γὰρ περισσὰ πράσσειν οὐκ ἔχει νοῦν οὐδένα.
β) Παρῆν τις ἐκ κατάπλου (=είχε μόλις έρθει).
γ) Καὶ εἶπεν Ἀδάμ· τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου.
δ) Χοῦς εἶ καὶ εἰς χοῦν ἀπελεύσῃ.

►Να συμπληρώσετε τα κενά στις παρακάτω προτάσεις με τους σωστούς τύπους των συνηρημένων δευτεροκλίτων ουσιαστικών που βρίσκονται σε παρένθεση:

α) Οἱ Κορίνθιοι, τόν τε …… τὸν ἐπ' οἴκου παρεσκευάζοντο καὶ τροπαῖον ἔστησαν ἐν τοῖς ἐν τῇ ἠπείρῳ Συβότοις. (πλοῦς)
β) Οἱ ξύμμαχοι καὶ ὁ Ἀστύοχος τὸν …… ᾔσθοντο. (θροῦς =μουρμουρητό του πλήθους)
γ) Ἐκφέρει φιάλας χρυσᾶς καὶ …… καὶ κάλπιδας (=δοχεία) καὶ κόσμον παντοῖον καὶ δαρεικοὺς ἀμέτρους τινάς. (πρόχους)
δ) Οἱ Κερκυραῖοι τά τε ναυάγια καὶ νεκροὺς ἀνείλοντο τὰ κατὰ σφᾶς, ἐξενεχθέντα ὑπό τε τοῦ …… καὶ ἀνέμου. (ῥοῦς)
ε) Φασὶ γὰρ μεταμελῆσαι τῶν ἐς Θεμιστοκλέα Ἀθηναίοις καὶ ὡς οἱ προσήκοντες τὰ …… κομίσαιεν ἐκ Μαγνησίας ἀνελόντες. (ὀστοῦν)
στ) Ὁ Ἄτταλος Ἀττάλου μὲν παῖς ὤν, …… δὲ Φιλεταίρου, τὴν ἀρχὴν Εὐμένους παραδόντος ἔσχεν ἀνεψιοῦ . (ἀδελφιδοῦς =ανεψιός)

ΕΝΟΤΗΤΑ 20

ΣΥΝΗΡΗΜΕΝΑ ΕΠΙΘΕΤΑ ΤΗΣ Β΄ ΚΛΙΣΗΣ

Α. ΥΛΙΚΟ ΓΙΑ ΕΠΕΞΕΡΓΑΣΙΑ

- Εἰκὼν Πτολεμαίου ἐστὶ χαλκῆ.
- Ἅπλους ἡ θάλασσα ὑπὸ τῶν λῃστῶν γέγονεν.

Τα υπογραμμισμένα επίθετα ανήκουν στη β΄ κλίση και είναι συνηρημένα. Έχουν χαρακτήρα -ο- ή -ε-, ο οποίος συναιρείται με τις καταλήξεις, όπως και στα αντίστοιχα ουσιαστικά της β΄ κλίσης (πρβλ. και § 99 της Γ.Α.Ε.).

Τα συνηρημένα επίθετα της Β΄ κλίσης είναι τρικατάληκτα ή δικατάληκτα και κλίνονται σύμφωνα με τους επόμενους πίνακες (βλ. και § 162-163 της Γ.Α.Ε.).

α) Τρικατάληκτα

Ενικός αριθμός

(θ. χρυσεο-, χρυσεα-, χρυσεο-)

Ον.	χρυσοῦς	χρυσῆ	χρυσοῦν
Γεν	χρυσοῦ	χρυσῆς	χρυσοῦ
Δοτ.	χρυσῷ	χρυσῇ	χρυσῷ
Αιτ.	χρυσοῦν	χρυσῆν	χρυσοῦν

Πληθυντικός αριθμός

Ον.	χρυσοῖ	χρυσαῖ	χρυσᾶ
Γεν	χρυσῶν	χρυσῶν	χρυσῶν
Δοτ.	χρυσοῖς	χρυσαῖς	χρυσοῖς
Αιτ.	χρυσοῦς	χρυσᾶς	χρυσᾶ

β) Δικατάληκτα

Ενικός αριθμός

(θ. εὐνοο-, εὐνοο-)

Ον.	**ὁ**	**ἡ**	**εὔνους**	**τὸ**	**εὔνουν**
Γεν	**τοῦ**	**τῆς**	**εὔνου**	**τοῦ**	**εὔνου**
Δοτ.	**τῷ**	**τῇ**	**εὔνῳ**	**τῷ**	**εὔνῳ**
Αιτ.	**τὸν**	**τὴν**	**εὔνουν**	**τὸ**	**εὔνουν**

Πληθυντικός αριθμός

(θ. εὐνοο-, εὐνοο-)

Ον.	**οἱ**	**αἱ**	**εὖνοι**	**τὰ**	**εὔνοα**
Γεν		**τῶν**	**εὔνων**	**τῶν**	**εὔνων**
Δοτ.	**τοῖς**	**ταῖς**	**εὔνοις**	**τοῖς**	**εὔνοις**
Αιτ.	**τοὺς**	**τὰς**	**εὔνους**	**τὰ**	**εὔνοα**

Β. ΠΑΡΑΤΗΡΗΣΕΙΣ

• Τα συνηρημένα δευτερόκλιτα επίθετα:
α) σχηματίζονται όπως τα συνηρημένα ουσιαστικά της β΄ κλίσης (στο αρσεν. και ουδέτερο γένος) και της α΄ κλίσης (στο θηλυκό γένος)·
β) δεν έχουν κλητική.

• Τα τρικατάληκτα συνηρημένα επίθετα:
α) τονίζονται πάντοτε στη λήγουσα
β) σχηματίζουν κανονικά το θηλυκό σε -ῆ (κυανοῦς, κυανῆ - χαλκοῦς, χαλκῆ).
Αλλά όταν μπροστά από την κατάληξη -ους του αρσενικού υπάρχει ε ή ρ, τότε η κατάληξη του θηλυκού είναι -ᾶ (κεραμεοῦς, κεραμεᾶ - ἀργυροῦς, ἀργυρᾶ).

• Τα δικατάληκτα συνηρημένα επίθετα:
α) είναι σύνθετα με δεύτερο συνθετικό τις λέξεις νοῦς, πλοῦς, ῥοῦς, χροῦς (ἄνους, ἄπλους, εὔρους, ἄχρους)

β) διατηρούν την ασυναίρετη κατάληξη -οα στον πληθυντικό του ουδετέρου (τὰ εὔπλοα, τὰ ἄχροα)
γ) έχουν την λήγουσα -οι της ονομαστικής πληθυντικού αρσενικών και θηλυκών βραχεία, αν και προέρχεται από συναίρεση (εὖνοι, εὖπλοι)
δ) τονίζονται πάντοτε στην παραλήγουσα.

Γ. ΑΣΚΗΣΕΙΣ

►Στις προτάσεις που ακολουθούν να αναγνωρίσετε τους τύπους των συνηρημένων δευτεροκλίτων επιθέτων:

α) Ἔχει ὁ μὲν Ζεὺς σκῆπτρον χαλκοῦν καὶ Νίκην χαλκῆν, ἡ δὲ Ἀθηνᾶ δόρυ.
β) Θώρακας λινοῦς ἰδεῖν ἔν τε ἄλλοις ἱεροῖς ἔστιν ἀνακειμένους καὶ ἐν Γρυνείῳ.
γ) Ἥφαιστος λέγεται πέμψαι Ἥρᾳ δῶρον χρυσοῦν θρόνον ἀφανεῖς δεσμοὺς ἔχοντα.
δ) Ἄχρουν ἐστὶ τὸ διαφανὲς καὶ τὸ ἀόρατον ἢ τὸ μόλις ὁρώμενον, οἷον δοκεῖ τὸ σκοτεινόν.
ε) Ὅστις εὔνους τῇδε τῇ πόλει, θανὼν καὶ ζῶν ὁμοίως ἐξ ἐμοῦ τιμήσεται.

►Να συμπληρώσετε τα κενά στις παρακάτω προτάσεις με τους σωστούς τύπους των συνηρημένων δευτεροκλίτων επιθέτων που βρίσκονται σε παρένθεση:

α) Παῦσαι, μὴ ἐφευρεθῇς …… τε καὶ γέρων ἅμα. (ἄνους).
β) Ἐς τοῦτον τόν Νῖσον ἔχει λόγος τρίχας ἐν τῇ κεφαλῇ οἱ …… εἶναι. (προφυροῦς).
γ) Σοὶ ταῦτ' ἀρέσκει, παῖ Μενοικέως, ποεῖν τὸν τῇδε …… καὶ τὸν εὐμενῆ πόλει. (δύσνους).
δ) Ἐπὶ τοῖς δόρασιν αἰχμὰς …… φοροῦσι. (σιδηροῦς).

ε) Οἱ Κορίνθιοι πλείους τῶν ἐναντίων ναῦς ……. ἐποίησαν. (ἁπλοῦς)

►Το κείμενο που ακολουθεί είναι απόσπασμα από την περιγραφή της Αγίας Σοφίας στην Κωνσταντινούπολη από τον ιστορικό της εποχής (6ος αι. μ.Χ.) Προκόπιο. Να εντοπίσετε σ' αυτό τύπους δευτεροκλίτων συνηρημένων ονομάτων, ουσιαστικών και επιθέτων.

Τίς δὲ τῶν τε κιόνων καὶ λίθων διαριθμήσαιτο τὴν εὐπρέπειαν, οἷς τὸ ἱερὸν κεκαλλώπισται; Λειμῶνί τις ἂν ἐντετυχηκέναι δόξειεν ὡραίῳ τὸ ἄνθος. Θαυμάσειε γὰρ ἂν εἰκότως τῶν μὲν τὸ ἁλουργόν, τῶν δὲ τὸ χλοάζον, καὶ οἷς τὸ φοινικοῦν ἐπανθεῖ, καὶ ὧν τὸ λευκὸν ἀπαστράπτει, ἔτι μέντοι καὶ οὓς ταῖς ἐναντιωτάταις ποικίλλει χροιαῖς ὥσπερ τις ζωγράφος ἡ φύσις. Ὁπηνίκα δέ τις εὐξόμενος ἐς αὐτὸ ἴοι, ξυνίησι μὲν εὐθὺς ὡς οὐκ ἀνθρωπείᾳ δυνάμει ἢ τέχνῃ, ἀλλὰ θεοῦ ῥοπῇ τὸ ἔργον τοῦτο ἀποτετόρνευται· ὁ νοῦς δέ οἱ πρὸς τὸν θεὸν ἐπαιρόμενος ἀεροβατεῖ, οὐ μακράν που ἡγούμενος αὐτὸν εἶναι, ἀλλ' ἐμφιλοχωρεῖν μάλιστα οἷς αὐ-τὸς εἵλετο.

Προκόπιος Καισαρεύς, Περὶ κτισμάτων Α, α΄ 59-61

τὴν εὐπρέπειαν = την ομορφιά
λειμῶνί… δόξειεν = θα νόμιζε κανείς ότι βρέθηκε σε λειβάδι
τὸ ἁλουργόν = το πορφυρό
τὸ φοινικοῦν = το κόκκινο
χροιαῖς = χρώματα
εὐξόμενος = για να προσευχηθεί
ἴοι (εἶμι) = πάει
ξυνίησι (συνίημι) = καταλαβαίνει
ἀποτετόρνευται = έχει γίνει τέλειο
ἐμφιλοχωρεῖν = ότι αγαπά να βρίσκεται
εἵλετο (αἱροῦμαι) = διάλεξε

ΕΝΟΤΗΤΑ 21

ΑΤΤΙΚΟΚΛΙΤΑ ΔΕΥΤΕΡΟΚΛΙΤΑ ΟΝΟΜΑΤΑ

Α. ΥΛΙΚΟ ΓΙΑ ΕΠΕΞΕΡΓΑΣΙΑ

- Ἔστι κατὰ τὴν ὁδὸν τὴν ἐς Ἀθήνας ἐκ Φαληροῦ νεὼς Ἥρας.
- Ὁ δῆμος ὑπόχρεως τῶν πλουσίων ἦν.

Οι υπογραμμισμένοι τύποι ανήκουν σε μια ιδιαίτερη κατηγορία δευτερόκλιτων ονομάτων, που έχουν καταλήξεις **-ως -ων** αντί **-ος**. Τα ονόματα αυτά, ουσιαστικά και επίθετα, συνηθίζονται κυρίως στην αττική διάλεκτο και γι' αυτό ονομάζονται **αττικόκλιτα**. Κλίνονται σύμφωνα με τους ακόλουθους πίνακες (βλ. και § 101-102 και § 166-167 της Γ.Α.Ε.)

Ι. ΟΥΣΙΑΣΤΙΚΑ

Ενικός αριθμός

		(θ. νεω-)	(θ. Μενελεω-)
Ον.	ὁ	νεὼς	Μενέλεως
Γεν.	τοῦ	νεὼ	Μενέλεω
Δοτ.	τῷ	νεῲ	Μενέλεῳ
Αιτ.	τὸν	νεὼν	Μενέλεων
Κλητ.	ὦ	νεὼς	Μενέλεω

Πληθυντικός αριθμός

Ον.	οἱ	νεῲ	-
Γεν.	τῶν	νεὼν	-
Δοτ.	τοῖς	νεῲς	-
Αιτ.	τοὺς	νεὼς	-
Κλητ.	ὦ	νεῲ	-

Ενικός αριθμός

	(θ. ἁλω-)		(θ. ἀνώγεω-)	
Ον.	**ἡ**	**ἅλως (=αλώνι)**	**τὸ**	**ἀνώγεων**
Γεν.	**τῆς**	**ἅλω**	**τοῦ**	**ἀνώγεω**
Δοτ.	**τῇ**	**ἅλῳ**	**τῷ**	**ἀνώγεῳ**
Αιτ.	**τὴν**	**ἅλω(ν)**	**τὸ**	**ἀνώγεων**
Κλητ.	**ὦ**	**ἅλως**	**ὦ**	**ἀνώγεων**

Πληθυντικός αριθμός

Ον.	**αἱ**	**ἅλῳ**	**τὰ**	**ἀνώγεω**
Γεν.	**τῶν**	**ἅλων**	**τῶν**	**ἀνώγεων**
Δοτ.	**ταῖς**	**ἅλῳς**	**τοῖς**	**ἀνώγεῳς**
Αιτ.	**τὰς**	**ἅλως**	**τὰ**	**ἀνώγεω**
Κλητ.	**ὦ**	**ἅλῳ**	**ὦ**	**ἀνώγεω**

ΙΙ. ΕΠΙΘΕΤΑ

Ενικός αριθμός

(θ. ἱλεω-)

Ον.	**ὁ**	**ἡ**	**ἵλεως**	**τὸ**	**ἵλεων**
Γεν.	**τοῦ**	**τῆς**	**ἵλεω**	**τοῦ**	**ἵλεω**
Δοτ.	**τῷ**	**τῇ**	**ἵλεῳ**	**τῷ**	**ἵλεῳ**
Αιτ.	**τὸν**	**τὴν**	**ἵλεων**	**τὸ**	**ἵλεων**
Κλητ.		**ὦ**	**ἵλεως**	**ὦ**	**ἵλεων**

Πληθυντικός αριθμός

Ον.	**οἱ**	**αἱ**	**ἵλεῳ**	**τὰ**	**ἵλεα**
Γεν.	**τῶν**	**τῶν**	**ἵλεων**	**τῶν**	**ἵλεων**
Δοτ.	**τοῖς**	**ταῖς**	**ἵλεῳς**	**τοῖς**	**ἵλεῳς**
Αιτ.	**τοὺς**	**τὰς**	**ἵλεως**	**τὰ**	**ἵλεα**
Κλητ.		**ὦ**	**ἵλεῳ**	**ὦ**	**ἵλεα**

Β. ΠΑΡΑΤΗΡΗΣΕΙΣ

• Τα αττικόκλιτα ουσιαστικά
α) έχουν ω στις καταλήξεις όλων των πτώσεων. Υπάρχει ι υπογεγραμμένο όπου η αντίστοιχη κατάληξη των απλών δευτεροκλίτων ουσιαστικών έχει ι (τῷ νεῳ̣ [τῷ ναῷ], οἱ νεῳ̣ [οἱ ναοὶ])·
β) έχουν την κλητική όμοια με την ονομαστική·
γ) τονίζονται σε όλες τις πτώσεις όπου και όπως η ονομαστική ενικού (ὁ νεὼς, τὸν νεὼ - ὁ Μενέλεως, τοῦ Μενέλεω - ὁ ταῶς, τοῦ ταῶ)·
δ) σε μερικές περιπτώσεις σχηματίζουν την αιτιατική ενικού χωρίς το τελικό ν (τὸν Ἄθω, τὴν ἄλω, τὴν ἔω, τὴν Κῶ, τὸν Μίνω).

• Τα αττικόκλιτα επίθετα
α) είναι δικατάληκτα (ὁ, ἡ ὑπόχρεως, τὸ ὑπόχρεων - ὁ, ἡ ἔμπλεως, τὸ ἔμπλεων)· τρικατάληκτο είναι μόνο το επίθετο πλέως - πλέα - πλέων·
β) στην ονομαστική, αιτιατική και κλητική πληθυντικού του ουδετέρου έχουν κατάληξη -α, όπως τα ουδέτερα των κοινών δευτεροκλίτων επιθέτων (τὰ ἔμπλεα / τὰ δίκαια).

Γ. ΑΣΚΗΣΕΙΣ

►Να αναγνωρίσετε τους τύπους των αττικόκλιτων ουσιαστικών και επιθέτων στις παρακάτω προτάσεις

α) Ἔστιν Ἀντίοχος τῶν παίδων τῶν Ἡρακλέους, γενόμενος ἐκ Μήδας Ἡρακλεῖ τῆς Φύλαντος, καὶ τρίτος Αἴας ὁ Τελαμῶνος, ἐκ δὲ Ἀθηναίων Λεώς.
β) Ἅμα τῇ ἕῳ (=αυγή) οἱ Βοιωτοὶ παρῆσαν.
γ) Σκότους ἀνάπλεως (=γεμάτα) ἔχει τοὺς ὀφθαλμούς.

δ) Κοινῇ τὰ σώματα διδόντες ἰδίᾳ τὸν ἀγήρων ἔπαινον ἐλάμβανον καὶ τὸν τάφον ἐπισημότατον.
ε) Πολλῶν γὰρ ὑμῖν ἄξιος Τρυγαῖος Ἀθμονεὺς ἐγώ, δεινῶν ἀπαλλάξας πόνων τὸν δημότην καὶ τὸν γεωργικὸν λεών, Ὑπέρβολόν τε παύσας.
στ) Πρὸ τοῦ νεὼ τὸν μὲν Ἀπόλλωνα Λεωχάρης, ὃν δέ καλοῦσιν Ἀλεξίκακον Κάλαμις ἐποίησε.

►Να συμπληρώσετε τα κενά στις παρακάτω προτάσεις με τον σωστό τύπο του αττικόκλιτου επιθέτου ή ουσιαστικού που δίνεται σε παρένθεση:

α) Τότε στρατεύουσιν ἐς Ἄφιδναν οἱ …… παῖδες. (Τυνδάρεως)
β) Οἱ θεοί, οἷς ἂν ὦσιν ……, σημαίνουσι. (ἵλεως)
γ) Οἱ Πελοποννήσιοι ἀναγαγόμενοι (=απέπλευσαν) ἅμα …….. ἔπλεον, ἐπὶ τεσσάρων ταξάμενοι τὰς ναῦς. (ἕως)
δ) Τήν γοῦν Ἀττικὴν ἐκ τοῦ ἐπὶ πλεῖστον διὰ τὸ …… ἀστασίαστον οὖσαν ἄνθρωποι ᾤκουν οἱ αὐτοὶ αἰεί. (λεπτόγεως =άγονος)
ε) Πρὸς τὸν πόλεμον μάλιστα βλέπομεν Λυκοῦργόν τε καὶ …… τίθεσθαι τὰ νόμιμα (=νομοθετούν). (Μίνως)
στ) Τῶν Συρακοσίων ἐσβάντων ἐς τὰς ναῦς καὶ παραπλεόντων ἀπὸ …… ἐς τὴν Μεσσήνην, οἱ Ἀθηναῖοι ἑτέραν ναῦν ἀπολλύουσιν (=χάνουν). (κάλως =σκοινί, παλαμάρι)

ΠΕΡΙΕΧΟΜΕΝΑ

Πρόλογος..... 5

Ενότητα 1 7
Συμπληρωματικά για το κατηγορούμενο. Γενική κατηγορηματική-
Επιρρηματικό και Προληπτικό κατηγορούμενο.

Ενότητα 2 13
Αντικείμενο άμεσο και έμμεσο.
Κατηγορούμενο του αντικειμένου. Σύστοιχο αντικείμενο.

Ενότητα 3 22
Φωνηεντόληκτα ουσιαστικά της Γ΄ κλίσης (μονόθεμα).

Ενότητα 4 29
Φωνηεντόληκτα ουσιαστικά της Γ΄ κλίσης (διπλόθεμα).

Ενότητα 5 34
Υγρόληκτα ουσιαστικά της Γ΄ κλίσης (διπλόθεμα).

Ενότητα 6 40
Φωνηεντόληκτα, αφωνόληκτα και ενρινόληκτα επίθετα της Γ΄ κλίσης. Η κλίση της μετοχής του Παθητικού Αορίστου.

Ενότητα 7 50
Δευτερεύουσες προτάσεις.

Ενότητα 8 65
Υποθετικοί λόγοι.
Το πραγματικό και το αντίθετο του πραγματικού.

Ενότητα 9 70
Υποθετικοί λόγοι.
Το προσδοκώμενο και η αόριστη επανάληψηστο παρόν και μέλλον.

Ενότητα 10 74
Υποθετικοί λόγοι.
Απλή σκέψη και αόριστη επανάληψη στο παρελθόν.

Ενότητα 11 83
Ρήματα υγρόληκτα και ενρινόληκτα

Ενότητα 12 89
Οι άλλοι χρόνοι των υγρολήκτων και των ενρινολήκτων ρημάτων.

Ενότητα 13 96
Αντωνυμίες κυρίως κτητικές και αλληλοπαθητικές.

Ενότητα 14 102
Φωνηεντόληκτα ρήματα σε –μι.

Ενότητα 15 109
Πλάγιος λόγος

Ενότητα 16 117
Άλλα ρήματα Β΄ συζυγίας (σε -μι).
(εἶμι, φημί, οἶδα, δέδοικα).

Ενότητα 17 125
Αόριστοι Β΄ βαρυτόνων ρημάτων που κλίνονται κατά τα ρήματα σε –μι

Ενότητα 18 130
Αριθμητικά.

Ενότητα 19 135
Συνηρημένα ουσιαστικά Α΄ και Β΄ κλίσης

Ενότητα 20 139
Συνηρημένα επίθετα της Β΄ κλίσης

Ενότητα 21 143
Αττικόκλιτα δευτερόκλιτα ονόματα.

Βάσει του ν. 3966/2011 τα διδακτικά βιβλία του Δημοτικού, του Γυμνασίου, του Λυκείου, των ΕΠΑ.Λ. και των ΕΠΑ.Σ. τυπώνονται από το ΙΤΥΕ - ΔΙΟΦΑΝΤΟΣ και διανέμονται δωρεάν στα Δημόσια Σχολεία. Τα βιβλία μπορεί να διατίθενται προς πώληση, όταν φέρουν στη δεξιά κάτω γωνία του εμπροσθόφυλλου ένδειξη «ΔΙΑΤΙΘΕΤΑΙ ΜΕ ΤΙΜΗ ΠΩΛΗΣΗΣ». Κάθε αντίτυπο που διατίθεται προς πώληση και δεν φέρει την παραπάνω ένδειξη θεωρείται κλεψίτυπο και ο παραβάτης διώκεται σύμφωνα με τις διατάξεις του άρθρου 7 του νόμου 1129 της 15/21 Μαρτίου 1946 (ΦΕΚ 1946,108, Α').

Απαγορεύεται η αναπαραγωγή οποιουδήποτε τμήματος αυτού του βιβλίου, που καλύπτεται από δικαιώματα (copyright), ή η χρήση του σε οποιαδήποτε μορφή, χωρίς τη γραπτή άδεια του Υπουργείου Παιδείας, Θρησκευμάτων και Αθλητισμού / ΙΤΥΕ - ΔΙΟΦΑΝΤΟΣ.